λικῆς συμπνοίας ἐπαναδράμοιεν. Σκοπῶν δὲ παρ' ἐμαυτῷ ἐπὶ πολὺ τίνι ἂν πρεπωδέστερόν τε καὶ δικαιότερον τοῦτο καθιερώσαιμι, καὶ δῶρον ἀποστείλαιμι, σοῦ τῆς τιμίας καὶ ἱερᾶς κεφαλῆς οὐδέν' ἄλλον προκρίνας διέγνωκα, ἅτε δὴ καὶ θερμότατον τὸ περὶ τὰ θεῖα φίλτρον παρὰ σεαυτῷ τρέφοντα παρ' οὐκ ὀλίγων, καὶ αὐτῶν οὐ τῶν τυχόντων, μεμαθηκώς, καὶ τὴν τῶν θείων δογμάτων διὰ παντὸς ἐκμελετῶντα ἀκρίβειαν, κἀκ τούτων καὶ βουλόμενον αὐτόθεν καὶ δυνατῶς ἔχοντα τοῦ τοιούτου θεαρέστου τε ἅμα καὶ ὑψηλοτάτου τῶν ἔργων μεθ' ὅσης οἷόν τε ἐπιμελείας καθάψαι τεκμαιρόμενος, εἰ καὶ Θεὸς τοῖς μελετηθεῖσιν ἂν ἐπινεύσειεν. Αὐτὸς τοίνυν ἀρχόντων θεοσεβέστατέ τε καὶ ἐκλαμπρότατε πρὸς τὸ τῆς ἐμῆς ψυχῆς πρόθυμον ἀποβλέψας ἱλαρῷ τῷ προσώπῳ καὶ φιλοφρόνως τὸ δῶρον ἀποδεξάμενος χαριῇ μὲν ἐμοὶ τὰ μέγιστα, παρέξεις δὲ τὸ ἀπὸ τοῦδε καὶ πλείους τὰς ἀφορμᾶς τοῦ καὶ κρείττω καὶ μείζω σοῦ τε ἕνεκα καὶ τῆς τῶν πολλῶν ὠφελείας προσμελετᾶν. Ἐρρωμένων σε διαφυλάττοι ὁ Κύριος ἐν πολλῶν ἐτῶν περιόδοις ἀρχόντων θεοσεβέστατέ μοι καὶ ἐκλαμπρότατε. Ἐκ τῆς σεβασμίας Μονῆς τῆς χρυσοπηγῆς τοῦ Γαλατᾶ τῆς Κωσταντινουπόλεως. Θαργηλιῶνος πέμπτῃ ἐπὶ δέκα, ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας αφπδ'“ Τῶν δύο τούτων βιβλίων τὸ μὲν πρῶτον διαιρεῖται εἰς ἑπτὰ κεφάλαια, τὸ δὲ δεύτερον εἰς τέσσαρα. 6) Ἀντιρρητικοὶ λόγοι δύο κατὰ τοῦ Λατίνου ἀρχιεπισκόπου Κολοσσῶν Ἀνδρέου ὑπὲρ Μάρκου τοῦ Ἐφέσου. Ἀπόκεινται ἴσως ἐν ταῖς Μοναῖς τοῦ ὄρους Ἄθω. Ἰδὲ Πηδάλιον Νικοδήμου σημ. α' σελ. 259 τῆς ἐν Ἀθήναις ἐκδόσεως. 7) Διατριβὴ κατὰ τοῦ λατινόφρονος Γεωργίουτοῦ Μετοχίτου ἀρχι διακόνου τοῦ βασιλικοῦκλήρου. 8) Βιβλίον κατὰ Ἰησουϊτῶν. 9) Βιβλίον κατὰ Φραγγισκάνων. 10) Συλλογὴ τῶν Κανόνων τῶν Ἀποστόλων, τῶν Συνόδων καὶ τῶν Πατέρων μετὰ σημειώσεων, ἐν αἷς ἐλέγχει τὰς τῶν Λατίνων καινοτομίας(α). 11)

(α) Fabricii Biblioth. Craeca tom. XI p. 694.